καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον. Διὸ καὶ φιλοτιμούμεθα εἴτε ἐνδημοῦντες εἴτε ἐκδημοῦντες εὐάρεστοι αὐτῷ εἶναι. Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν». Πρὸς Ἐφεσίους δέ, «ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι συνεζωοποίησε τῷ Χριστῷ· χάριτι ἐστὲ σεσωσμένοι καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν ‖ τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι f 69v
τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ᾿ ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ». Καὶ πρὸς Κολοσσαεῖς. «Εἰ οὖν συνηγέρθητε Χριστῷ, τὰ ἄνω ζητεῖτε οὗ ὁ Χριστὸς ἐν τῇ δεξιᾷ τοῦ Θεοῦ καθήμενος· τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς· ἀπεθάνατε γὰρ καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς φανερωθήσεσθε ἐν δόξῃ». Καὶ πρὸς Θεσσαλονικεῖς. «Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν, καὶ ἡμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ᾿ ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ᾿ οὐρανοῦ μετ᾿ ἀγγέλων δυνάμεως αὐτοῦ ἐν πυρὶ φλογός, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν καὶ τοῖς μὴ ὑπακούουσι τῷ Εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώνιον ἀπὸ προσώπου τοῦ Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσασιν, ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ᾿ ἡμᾶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ». Πρὸς δὲ Τιμόθεον. «Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, τηρῆσαι τὴν ἐντολὴν ἄσπιλον καὶ ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων». Καὶ αὖθις. «Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρῖναι ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασι-

4) ἐν τῇ ῥᾳ: διὰ τῶνδε τῶν ῥημάτων βούλεται δεῖξαι ὁ Ἀπόστολος, ὅτι ἀποθνήσκοντες οὐκ ἀπολλύμεθα, ἀνιστάμεθα γὰρ καὶ τὴν ἀμοιβὴν ἀπολαμβάνομεν τῶν βεβιωμένων διὰ τοῦ σώματος 6) Ἐφεσ. 2, 4 11) Κολοσ. 3, 1 16) Β΄ Θεσ. 1,6-10. 25) Α΄ Τιμοθ. 6,13 30) Β΄ Τιμοθ. 4,1

23) πιστεύουσιν Ν.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λείαν αὐτοῦ». Καὶ μετά τινα· «λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠλπικόσι τὴν ἐπιφάνειαν 70r αὐτοῦ». || Καὶ πρὸς Τίτον. «Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ». Καὶ ὁ Ἰάκωβος. «Μακροθυμήσατε οὖν, ἀδελφοί, ἕως τῆς παρουσίας τοῦ Κυρίου» καὶ τὰ ἑξῆς. Καὶ ὁ Ἰωάννης ἐν τῇ πρώτῃ αὐτοῦ ἐπιστολῇ. «Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ὅταν φανερωθῇ ἔχωμεν παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ». Καὶ ὁ Πέτρος ἐν τῇ πρώτῃ αὐτοῦ ὁμοίως ἐπιστολῇ. «Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον τετηρημένην ἐν οὐρανοῖς εἰς ἡμᾶς τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ». Καὶ πάλιν, «οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς. Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι». Καὶ αὖθις, «ἀλλὰ τύποι γενόμενοι τοῦ ποιμνίου, καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον». Ἐκ τούτων οὖν ἁπάντων δείκνυται, ὅτι οὐράνιός ἐστιν ἡ βασιλεία, ἥτις ἀπόκειται ἐν τῷ μέλλοντι τοῖς ἀξίοις. Ὥσπερ γὰρ ὁ Κύριος διά τῆς ἁγίας αὐτοῦ ψυχῆς ψυχὰς ἤγαγεν ἐν τῷ παραδείσῳ, οὕτως ὕστερον καὶ μετὰ σώματος ἄξει σώματα ἐν τῷ οὐρανῷ. Εἰ δὲ ψυχὰς ἀνήγαγεν ἐν τῷ οὐρανῷ ἄνευ κρίσεως, τὶ μὴ καὶ τὸ ἔλαττον τὰ σώματα; Ἵνα τί δὲ καὶ τὸν λῃστὴν εἰς τὸν παράδεισον ἤγαγε καὶ οὐκ εἰς τὸν οὐρανόν; Καὶ εἰ νῦν ἀπαλαμβάνουσιν οἱ δίκαιοι καὶ οἱ ἁμαρ-70v τωλοὶ τὰς ἀμοιβάς, || ἄρα γέγονεν ἡ κρίσις. Καὶ εἰ γέγονεν ἡ κρίσις, εἰς τί συντελοῦσιν αἱ ὑπὲρ τῶν κεκοιμημένων γινόμεναι τελεταί; Ἀνάγκη οὖν πᾶσα ὥσπερ ὁ Χριστὸς τῇ ψυχῇ μόνῃ εἰσῆλθεν εἰς τὸν παράδεισον, ἀναστὰς δὲ καὶ μετὰ σώματος εἰσῆλθεν εἰς τὸν οὐρανόν,

1) αὐτ. 2,8 4) Τίτ. 2,11 9) Ἰακ. 5,7 11) Α' Ἰωάν. 2,28 13) Α' Πέτρ. 1,3-5 19) αὐτ. 4,5-6 22) αὐτ. 5,3-4.

23) γενώμενοι Ν.

Ε.Υ.Δ της Γ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὕτω δὴ καὶ πάντες οἱ ἅγιοι. Εἰ δὲ φασίν, ὅτι τινὲς τῶν διδασκάλων τοῦτο λέγουσιν, ἴστωσαν ὅτι οὐ περὶ τούτου ποιούμενοι τὸν λόγον, ἀλλὰ πανηγυρίζοντες, οἷον καὶ τὸ «Χριστὸς γεννᾶται, δοξάσατε», καὶ τὸ «ὁ Κύριος κρῖναι ἔρχεται» καὶ τὰ τοιαῦτα. Ἐπεὶ πῶς φησιν ὁ Χρυσόστομος περὶ τῶν νηπίων, «ἠνοίχθη ὑμῖν ἡ τοῦ παραδείσου τρυφή», καὶ ὁ Νύσσης Γρηγόριος ἐν τῷ εἰς Πουλχερίαν ἐπιταφίῳ, «ἔνθεν τὸ φυτὸν ἀνεσπάσθη, ἀλλὰ τῷ παραδείσῳ ἐνεφυτεύθη· δριμὺς ὁ χειμών, ἀλλὰ γλυκὺς ὁ παράδεισος». Εἰ δέ τις ταὐτὸν οἴεται εἶναι τὸν παράδεισον καὶ τὴν οὐράνιον βασιλείαν, πλάνην ὁ τοιοῦτος ὑφίσταται, ὡς καὶ ἐν ἑτέροις ἀπεδείξαμεν. Φησὶ δ' οὖν ὅμως καὶ ὁ ἁγιώτατος Φώτιος ἐν ταῖς πρὸς τὸν Ἀμφιλόχιον Κυζίκου ἀποκρίσεσιν. «Ἡ βασιλεία τῶν οὐρανῶν κρείττονα καὶ τὴν ὕπαρξιν καὶ τὴν ἀπόλαυσιν ἢ κατ' αἴσθησιν ἔχει· φησὶ γάρ· ἃ ὀφθαλμὸς οὐκ οἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Ὁ δὲ παράδεισος ταπεινόν τι πολλῷ τῆς βασιλείας τῶν οὐρανῶν· ὄψει γὰρ καταληπτὸς ἐγεγόνει καὶ πολίτας ἔσχε τοὺς πρωτογόνους καὶ τὸ κάλλιστον μὲν τῶν περικοσμίων ἐστί, τῆς γῆς δ' ὅμως μέρος· καὶ φυτοῖς μὲν ὡραίοις κωμᾷ καὶ διαυγεστάτοις κατάρδεται νάμασι, πλὴν οὐδὲν τούτων ὑψηλότερον ὄψεως· οὐδὲν τῶν ἀνθρωπίνων ἀνακεχώρηκε λογισμῶν, ὥσπερ ἡ βασιλεία τῶν οὐρανῶν· καὶ γῆς δὲ καὶ οὐρανοῦ οὐκ ἔστιν εἰπεῖν ὅσον τὸ μέσον». Ὅτι δὲ τὰ μέλλοντα ὡς ἐνεστῶτα νοοῦσιν οἱ ἅγιοι, δῆλον καὶ ἐκ τοῦ πρὸς Ἐφεσίους ἀποστολικοῦ ῥητοῦ. || «Συνήγειρε γάρ φησι καὶ συνε- f 71r
κάθισε», καίτοι ἐκ τῶν προηγουμένων τε καὶ ἑπομένων ἀποδεικνύων ἀκμὴν τοῦτο μὴ γεγονέναι. Δῆλον οὖν ὅτι διὰ τὴν ἀπαρχὴν ἡμῶν καὶ τὸν πρόσκαιρον ἀρραβῶνα τοῦτό φησιν, ὥσπερ καὶ ἡμεῖς τοὺς ἀρραβῶνας τῶν νυμφώνων ἔχοντες, τὸ πᾶν λαβεῖν λέγομεν.

---

## II

## ΠΑΧΩΜΙΟΣ ΜΟΝΑΧΟΣ ΤΗι ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΑΓΙΩΤΑΤΗι ΜΕΓΑΛΗι ΕΚΚΛΗΣΙΑι f 208r

Ἐπειδήπερ παρὰ τῆς θείας Γραφῆς ἐπυθόμεθα οὐ μόνοις τοῖς σοφωτέροις τε καὶ λογιωτέροις, ἀλλὰ καὶ τοῖς τὴν ἴσην γνῶσιν λαχοῦσιν ἀποκαλύπτειν τοὺς οἰκείους λογισμούς, ἵνα τῇ τῶν πολλῶν ἢ τῶν δεινοτέρων καὶ συνετωτέρων κρίσει, εἰ μὲν ἀγαθοί εἰσι, τὸ κράτος καὶ τὸ κῦρος κατὰ πάντα ἔχοιεν, ὥσπερ τὸ ἔμπαλιν, εἰ πονηροί, τὸ

[27]) Κῶδ. Βερ. 214 (Phil. 1617) 208r—210v. [30]) πυθόμεθα Β [31]) ὦσι Β

Ε. ΙΑΤΡ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀσύστατον καὶ ἀβέβαιον, καὶ τούτου μάρτυς ὅ τε νομοθέτης καὶ ὁ Ἀπόστολος, οἵτινες οὐ λόγοις μόνοις, ἀλλὰ καὶ ἔργοις αὐτοῖς τοῦτο ἐδίδαξαν, ὁ μὲν τὸν ἴδιον γαμβρὸν Ἰοθόρ, ὁ δὲ τοὺς συναποστόλους εἰς συμβουλὴν ἑλόμενος, τούτου χάριν αὐτός, ταυτηνὶ τὴν δέλτον διοργανωσάμενος, οὐ μόνοις τοῖς κατ' ἐμὲ ἐν τῷ τοῦ Ἄθω ἁγίῳ Ὄρει ἀνεθέμην, ἀλλὰ καὶ τοῖς ἔκτοθι τούτου ἐλλογιμωτέροις, πεζοπορῶν μόχθῳ πολλῷ. Ἀλλὰ τοῦ Σολομῶντος ἐπαΐων λέγοντος «σωτηρία λαοῦ ἐν πολλῇ βουλῇ» οὐ τῇ τῶν προλαβόντων συναινέσει ἠρκέσθην, οὐδὲ μέχρι τοῦδε ἵστασθαι ἄξιον ἡγησάμην. Καὶ γὰρ χαλεπὸν μὴ καὶ τῇ κατὰ τὴν Κωνσταντίνου μητρὶ τῶν Ἐκκλησιῶν ἀναθέσθαι τὸ πόνημα, μᾶλλον τῶν λοιπῶν κωμαζούσῃ τοὺς περὶ τὸν λόγον καὶ τὴν ἱερὰν Γραφὴν εἰδήμονας. Ἀλλὰ τί πάθω· ἐχρῆν καὶ σωματικῶς ἀφικέσθαι πρὸς
f 208v ὑμᾶς· οὕτω γὰρ ἂν ἡ κρίσις τοῦ συντάγματος || λαμπροτέρα ἀπεδείχθη. Ἐπεὶ δὲ ἡ ἐμὴ ἀπορία καὶ τὸ τῆς ὁδοῦ διάστημα τοῦτο οὐκ ἐνδίδωσι, συγγνωστέον τῇ ἀνάγκῃ, καὶ τὸ παρ' ἐμοῦ αὐτόθι πεμπόμενον βιβλίον ἀπολαβόντες ὡς δεῖ τε καὶ ὡς οἴδατε σκοπήσαντες, τὸ κριθὲν παρ' ὑμῶν ὡς ἔχει δηλώσατε, ἵνα μὴ εἰς κενὸν τύχω, μᾶλλον δὲ ἵνα μὴ κατὰ τῆς ἐμῆς κεφαλῆς εἴη τὸ σπούδασμα.

Ἀλλὰ καὶ τοῦτο ὑμᾶς εἰδέναι χρή, ὅτι ἔστί τις μοναχὸς ἐκ τῆς κωμοπόλεως Μελενίκου, Ματθαῖος αὐτῷ ὄνομα, ὃς διὰ τὴν οἰκείαν δυστροπίαν καὶ ὑπερηφανίαν μῆνας δύο ἢ καὶ τρεῖς ποιῶν ἐν ἑκάστῳ μοναστηρίῳ, οὕτως ἔξεισι κυκλεύων τάς τε ἐντὸς τοῦ ἁγίου Ὄρους, τάς τε ἐκτὸς τούτου μονὰς περιοδικῶς ὥσπερ τις πλανίτης ποιῶν ἐν ἑκάστῃ ὡς εἴρηται βραχύν τινα καιρόν. Οὗτος ἀναξίως ποτὲ καὶ ματαίως ὁ τῷ ὄντι μάταιος ἀναχθεὶς εἰς τὸ τῶν λειτουργῶν, ἤτουν διακόνων, ἀξίωμα, ἀξίως καὶ δικαίως τούτου ἐξίσταται ὡς Σίμων ὁ μάγος πάλαι τοῦ καταλόγου τῶν μαθητῶν· τούτου γὰρ καὶ μιμητής, δι' ὧν δρᾷ, φαίνεται. Καὶ γὰρ οὕτω βέβηλος ὢν καὶ ἀνίερος περιΐει ἀπατῶν τοὺς ἁπλουστέρους τῶν κοσμικῶν καὶ μᾶλλον τοὺς Βουλγάρους, ἑαυτὸν πλάττων ἱερέα καὶ πνευματικὸν κενῆς δόξης καὶ αἰσχροκερδίας
209r χάριν, μουσικὸν ἀλλὰ δὴ ποιῶν ἑαυτὸν καὶ διδάσκαλον, || ὁ ὄντως ἄμουσος καὶ ἀδίδακτος. Διὸ καὶ πρὸς ταῖς λοιπαῖς αὐτοῦ θεολογίαις, μᾶλλον δὲ τερατολογίαις καὶ μυθολογίαις καὶ τοῦτό φησιν, ὅτι ὁ Χριστὸς μετὰ σώματος ζῶν κατῆλθεν ἐν τῷ Ἅδῃ ἀνάξων τὸν Ἀδὰμ καὶ τοὺς ἐξ αὐτοῦ. Τοῦτο οὖν ἐγὼ ἀκηκοὼς ἅπαξ παρ' αὐτοῦ καὶ ἕτερα τοιαῦτα, ἐπέσκηψα τούτῳ τὸ σύνολον μή τινι τοῦτο διδάσκειν τὸ βλά-

7) **Παρ. 11,14.**

11) **κομαζούσῃ B**

Ε.Υ.Δ της τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σφημον. Ὁ γὰρ Χριστὸς τῇ ψυχῇ μόνῃ κατῆλθεν ἐν τῷ Ἅδῃ, ὡς ἐκ τῶν ἱερῶν λογίων μανθάνομεν. Ἀλλ᾿ ἔδοξα κατὰ πετρῶν καὶ ὑδάτων σπείρων ἢ σίδηρον πλεῖν διδάσκων. Καὶ γὰρ ἔτι εὐστατικῶς τῶν προτέρων ἔχεται, κατορχούμενος τῆς ἀληθείας. Διὸ καὶ αὖθις πρὸς τῇ προτέρᾳ παραινέσει καὶ τοῖσδ᾿ ἐχρησάμην πρὸς αὐτόν. Ὅτι εἰ μὲν μετὰ σώματος πρὸ τῆς ἐγέρσεως κατῆλθεν ὁ Χριστὸς ἐν τῷ Ἅδῃ, οὐκ ἀπέθανεν ἄρα, οὔτε τριήμερος κατὰ τὰς Γραφὰς ἀνέστη. Εἰ δὲ μετὰ τὴν ἀνάστασιν, ἢ ὅτι δεύτερον κατῆλθε, πρῶτον μὲν τῇ ψυχῇ μόνῃ, εἶτα μετὰ σώματος, ὅπερ καὶ περιττὸν ἐστι καὶ ψεύδεται ὁ Εὐαγγελιστὴς λέγων, «ἀναστὰς ὁ Ἰησοῦς πρωῒ πρώτῃ σαββάτων ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ», εἶτα τοῖς λοιποῖς μαθηταῖς, ἢ ὅτι οὐ κατῆλθε πρὸ τῆς ἐγέρσεως, ἀλλ᾿ ἅπαξ μετὰ τὴν ἀνάστασιν. Εἶτα εἰ μετὰ σώματος κατῆλθεν ἡ ψυχή, δῆλον ὅτι καὶ σώματα μετὰ τῶν ἰδίων ψυχῶν ὑπῆρχον ἐν τῷ Ἅδῃ· δεῖ γὰρ ψυχὴ ψυχαῖς || εὐαγ- f 209v
γελίζεσθαι καὶ κηρύττειν καὶ σῶμα σώμασιν ἀναλόγως. Ἀλλ᾿ εἰ μὲν ἡνωμένως, οἴκοθεν ὁ μάρτυς· καὶ γὰρ τὰ σώματα μετὰ θάνατον ὁρῶμεν τῇ γῇ παραδιδόμενα· εἰ δὲ διῃρημένως, ὡσαύτως ἀπίθανον· εἰ δ᾿ ἀληθές, τάχα γέγονεν ἡ παρ᾿ ἡμῶν τῶν εὐσεβῶν προσδοκωμένη ἀνάστασις. Ἵνα δὲ πληροφορήσω αὐτόν, καί τινας χρήσεις παρῆγον τὰς μᾶλλον αὐτῷ γνωριμωτέρας, ἐξ ὧν φησιν ἐν μέλεσιν ὁ Δαμασκηνὸς Ἰωάννης. «Ἡ τεθεωμένη σου Σῶτερ ψυχὴ Ἅδου θησαυροὺς προνομεύσασα τὰς ἀπ᾿ αἰῶνος συνανέστησε ψυχάς, τὸ ζωηφόρον σῶμα δὲ πᾶσιν ἀφθαρσίαν ἐπήγασεν», ἤγουν ἀπαρχὴ τῆς ἀφθαρσίας ἐγένετο. Καὶ ἐν ἑτέρῳ. «Ψυχὴν καὶ σῶμα γὰρ ἀναλαβὼν τῷ πάθει ἀπ᾿ ἀλλήλων διέτεμε, τῆς ἀχράντου μὲν ψυχῆς ἐν Ἅδῃ κατελθούσης, ὃν καὶ ἐσκύλευσε, τάφῳ δὲ διαφθορὰν οὐκ οἶδε τὸ ἅγιον σῶμα». Καὶ αὖθις. «Καὶ ἔδειξας φῶς ἐν σκότει πάλαι μοι κατῳκισμένῳ καὶ φθορᾷ· διὰ σταυροῦ γὰρ εἰς Ἅδην καταβεβηκώς με συνανέστησας»· διὰ σταυροῦ δὲ εἶπεν, οὐ διὰ τῆς ἀναστάσεως, ἐπεὶ οὐκ ἐνεδέχετο ἄλλως κατελθεῖν, ὡς καὶ ἐν εὐχῇ τῆς θείας ἱερουργίας φέρεται καὶ πάλιν· «ἐν τάφῳ σωματικῶς, ἐν Ἅδου δὲ || μετὰ ψυχῆς ὡς Θεός». Ὃ δὲ λέγει, τοιοῦ- f 210r

[10]) Μάρκ. 16,9. [11]) Παρακλητική, Ἀθῆναι 1900 σ. 162. [12]) Σχόλιον ἐν τῷ περιθωρίῳ: δῆλον ὅτι καὶ ἐπὶ ψυχῆς λέγεται ἀνάστασις· φθορὰ γὰρ καὶ θάνατος αὐτῆς ἡ ἁμαρτία καὶ ἡ ἀπώλεια. Ἡ δὲ τοῦ Χριστοῦ ψυχὴ οὔτε πέπτωκεν, οὔτε ἀνέστη· οὐ γὰρ ὡς κατάδικος κατῆλθεν ἐν τῷ Ἅδῃ, ἀλλὰ μετ᾿ ἐξουσίας κατελθοῦσα τὰς προλαβούσας ψυχὰς αὐτῇ συνανεβίβασεν. [13]) Μ. Ὡρολόγιον, Ἀθῆναι 1915 σ. 442.

Ε.Υ. τηρ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τόν ἐστιν, ὅτι ὁ Χριστός, ἅτε ἀπερίγραπτος ὢν ὡς Θεός, πανταχοῦ παρῆν καὶ ἐν τάφῳ μετὰ τοῦ ἰδίου σώματος καὶ ἐν τῷ Ἅδῃ μετὰ τῆς ψυχῆς, πρὸ τῆς ἐγέρσεως δῆλον ὅτι. Καθ' ἃ δὴ καὶ ὁ τῆς Νύσσης Γρηγόριος ἐν τῷ εἰς τὸ ἅγιον Πάσχα λόγῳ μετὰ πολλὰ τοιαῦτά φησι. «Δι' ἀμφοτέρων τῆς θεότητος τὸ ἀγαθὸν ἐνεργούσης, διὰ μὲν τῆς τοῦ σώματος ἀφθαρσίας, τὴν τοῦ θανάτου κατάλυσιν, διὰ δὲ τῆς ψυχῆς τῆς πρὸς τὴν ἰδίαν ἑστίαν ἐπειγομένης, τὴν πρὸς τὸν παράδεισον τῶν ἀνθρώπων ἐπάνοδον». Καὶ ὁ Κύπρου Ἐπιφάνιος ἐν τῷ εἰς τὸ μέγα Σάββατον σαφῶς παρίστησι λέγων. «Διὸ ἀνθρώποις μὲν ἐν σαρκὶ ὄντας διὰ σαρκὸς ἐμψύχου ὁ Θεὸς Λόγος ἐπεσκέψατο, ψυχαῖς δὲ σωμάτων ἀπηλλαγμέναις διὰ τῆς ἐνθέου καὶ ἀχράντου αὐτοῦ ψυχῆς ἐν Ἅδῃ ἐπέφανε σώματος ἀλλ' οὐ θεότητος ἀπηλλαγμένης». Ταῦτα, ἔφην, οὐχ ἁπλῶς οὐδ' ἀφ' ἑαυτῶν οἱ μακάριοι οὗτοι διδάσκαλοι φάσκουσι. Φησὶ γὰρ ὁ Ἀπόστολος Πέτρος περὶ Χριστοῦ, ὅτι ἡ ψυχὴ αὐτοῦ οὐκ ἐγκατελείφθη εἰς Ἅδου, ὡς τῶν ὑπευθύνων τούτῳ δῆλον ὅτι, οὐδὲ ἡ σάρξ αὐτοῦ εἶδε διαφθοράν, οἵαν ἡμεῖς δῆλα δὴ ἐν τῷ μνήματι ὑπομένομεν. Εἰ δὲ οὗτοι καὶ οἱ κατ' αὐτοὺς θεηγόροι οὐ τολμῶσί τι περὶ αὐτῶν φθέγξασθαι, ἀλλ' ἅπαντα ἐκ τῆς ἱερᾶς Γραφῆς καὶ τῶν πρὸ αὐτῶν ἱεροτελεστῶν, καθ' ἃ καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης φησί, «καθόλου τοιγαροῦν, οὐ τολμητέον εἰπεῖν || οὔτέ μην ἐννοῆσαί τι περὶ
10ν τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος παρὰ τὰ θειωδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφρασμένα», πῶς αὐτὸς ἢ ἐκ τίνος μεμαθηκὼς τοιαῦτα φθέγγει; Ὁ δὲ κατὰ τὴν παροιμίαν ἥλῳ ἧλον ἐκκρούων, παρά τε τοῦ μακαρίτου κυροῦ Μανουὴλ καὶ κυροῦ Ἀντωνίου τοῖν φιλοσόφοιν καὶ ῥητόροιν ταῦτ' ἔφη ἀκηκοέναι, παρ' ὧν οὐδὲ λόγου ἁπλῶς ποτε ἠξίωται, ἐμὲ δὲ ληρεῖν καὶ βλασφημεῖν ἄντικρυς καὶ μὴ εἰδότα οἷα θέμις λαλεῖν ἀπεφήνατο. Ὅθεν καὶ μᾶλλον ἠπείχθην ἀποστεῖλαι τὸ ἐμοὶ πονηθὲν σύνταγμα καὶ τὴν αὐτοῦ ἐγγράφως βλασφημίαν, ἵνα γνῶτ' ἀκριβῶς ἀμφοτέρων τὴν δόξαν ὅπως ἔχει καλῶς ἢ κακῶς. Ἐγὼ τάχα οὐδὲν ὅλως περὶ αὐτοῦ ἀνέφερον ἄν, ἀλλ' ἐπεὶ ἐν μιᾷ μονῇ ἄμφω, τό γε νῦν ἔχον, διατρίβομέν τε καὶ διαιτώμεθα, τούτου χάριν ἀνέμνησα ὑμῖν. Αὐτοὶ δὲ τὰ Θεῷ καὶ ὑμῖν δοκοῦντα ἐκπληρώσατε. Ὅς

[8]) Εἰς τὸ ἅγιον Πάσχα, Λόγος Α'. παρὰ Migne PG. 46.617. [9]) Λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸν Ἰωσὴφ τὸν ἀπὸ Ἀριμαθαίας καὶ εἰς τὴν ἐν τῷ Ἅδῃ τοῦ Κυρίου κατάβασιν, μετὰ τὸ σωτήριον πάθος παραδόξως γεγενημένην. Migne PG. 43,453. [19]) Πράξ. 2,27. [20]) Περὶ θείων ὀνομάτων Α'. 2. Migne PG. 3,588.

Ε.Υ.Δ. τ.τ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἅπαντα κατὰ τὴν αὐτοῦ ὑπέρσοφον Πρόνοιαν θείῃ καλῶς, τῇ εὐχῇ καὶ συνεργίᾳ τῆς ὑμῶν ἁγιότητος.

---

III

## ΜΑΝΟΥΗΛ Ο ΓΑΛΗΣΙΩΤΗΣ, ΤΩι ΟΣΙΩΤΑΤΩι ΚΑΙ ΕΛΛΟΓΙΜΩΤΑΤΩι ΜΟΝΑΧΩι ΚΥΡΩι ΠΑΧΩΜΙΩι ΕΝ ΚΥΡΙΩι ΧΑΙΡΕΙΝ

Γένοιτό σοι πανόσιε καὶ ἐλλογιμώτατε πάτερ πᾶν ἐκ Θεοῦ ἀγαθόν f 207v
τε καὶ τίμιον, τῷ εἰς δόξαν αὐτοῦ πάντα διανοουμένῳ καὶ πράττοντι. Ἧκε σου τὸ θαυμάσιον καὶ εὐσεβέστατον σύνταγμα καὶ ἡμῖν ὡς καὶ πᾶσιν ἐνεγνωρίσθη ὡς ἔδει παρὰ τουτωνὶ τῶν θεσπεσίων πατέρων, ἐπαινούντων τὰ σὰ ὡς εἰκὸς καὶ τὴν ἐνάρετόν σου διαγωγὴν ἀπαγγελλόντων τοῖς πᾶσιν. Ὑπὲρ οὗ δὴ καὶ ὡς οἴομαι εὐσεβεστάτου σου συγγράμματος καὶ παρὰ Θεῷ καὶ ἀνθρώποις ὁ ἄξιος τοῦ κόπου μισθός σοι ὀφείλεται ὡς τοῖς θείοις αὐτοῦ λογίοις ἀδιαλείπτως σχολάσαντι καὶ τὸ παρ᾽ αὐτοῦ σοι δοθὲν τάλαντον οὐκ ἐν μυχοῖς τῆς γῆς, ἀναγωγικῶς εἰπεῖν, ἀλλ᾽ ἐν εὐσεβέσιν διανοίας αὔλαξιν ἐνσπείραντί τε καὶ δεκαπλασιάσαντι ἄριστα, διὰ τῆς πρὸς ἅπαντάς σου διδασκαλίας ὡς οἷόν τε. Κἀντεῦθεν καὶ τὴν ἔγγραφον καὶ εὐσεβῆ ταύτην δέλτον εἰς ὠφέλειαν τῶν πιστῶν ἐπιστημόνως ἐγγεγραφότι ὡς ἔοικεν, ἥν ὡς ἄλλην τινὰ δογματικῆς πανοπλίας συνάθροισιν ἡ γενναία σου χεὶρ σὺν τῇ ἐνούσῃ σοι ἀγχινοίᾳ πεποίηκεν ἄριστα, ἀνατρέπουσα δι᾽ αὐτῆς τῶν πολυσπόρων αἱρέσεων τὰ κυήματα καὶ ὡς ἱστὸν ἀράχνης τὰς ἐνστάσεις αὐτῶν διαλύουσα.

Ἐμφανισθείσης δέ γε ἡμῖν καὶ τῆς μουσολήπτου σου ἐπιστολῆς, ἣν τοῖς τῆς καθολικῆς Ἐκκλησίας τροφίμοις ἀπέστειλας, καὶ δι᾽ αὐτῆς ἐγνωκότες τὴν πρὸς τὸν ἀδόλεσχον αὐτόθι προσέτι καὶ ἀμαθῆ μοναχὸν εὐσεβῆ σου ἔνστασιν καὶ ἐξήγησιν τοῦ προτεθέντος ζητήματος, δόξαν καὶ εὐχαριστίαν τῷ μόνῳ Θεῷ ἀνεπέμψαμεν, τῷ εἰς τὸν παρόντα αἰῶνα ὥσπέρ τι κρίνόν σε ἀειθαλὲς ἀναδείξαντι ὀρθοδοξίας

3) Κῶδ. Βερ (214 Phil. 1617)f. 207v. 9) ἐν τῇ ᾤᾳ: τοὺς κομίσαντας τὸ σύνταγμα αἰνίττεται, 23) ἐν τῇ ᾤᾳ: ἰστέον ὅτι οὗτος ὁ μοναχὸς μετενόησεν ὕστερον ὑπὲρ τοῦ οἰκείου σφάλματος.

ὀσμὴν ἀπονέμοντα τοῖς σοὶ πλησιάζουσιν. Ὅθεν καὶ τὴν γραφίδα πρὸς ἡμᾶς γε κινήσας τὰ περὶ συῦ καὶ ἡμῖν ἀπλανῶς δηλώσαις, παμφίλτατε, ὅπως πεῖραν πλείω λαβόντες τῆς πρὸς ἡμᾶς σου φιλίας, περισσοτέρας ἀποδῴημεν τὰς εὐχαριστίας. Ἔρρωσο.

---

## IV

## ΠΡΟΣ ΔΙΟΝΥΣΙΟΝ ΙΕΡΟΜΟΝΑΧΟΝ ΤΟΝ ΑΝΑΧΩΡΗΤΗΝ

f 171r Ἰδοὺ πάλιν τῇ πτέρνῃ προσέχει ὁ ἰοβόλος καὶ νοητὸς δράκων, καίτοι τὴν κεφαλὴν θλασθεὶς καὶ ἐπιθανὴς κείμενος, καὶ τὸ πονηθέν μοι κατ' αὐτοῦ δογματικὸν ὅπλον ἄχρηστον οἴεται ἀποδείξειν ὁ δείλαιος καὶ θρασύς, ἐμὲ δὲ εἰς σύγχυσιν καὶ λύπην ἐμβαλεῖν, τὴν ἡσυχίαν καὶ τὴν ἀπραγμοσύνην ἀσπαζόμενόν τε καὶ ὡς δυνατὸν διώκοντα. Ἀλλ' οὐκ ἐν τούτῳ ἐπιχαρήσεται ὁ παμπόνηρος, ἀλλ' ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐπιβήσομαι, χάριτι Χριστοῦ καὶ τελείως συντρίψω, αὐτὸς μηδ' ὁπωσοῦν τὴν οἱανδήτινα βλάβην ὑποστάς.

Λέγεις οὖν τὸ βιβλίον ἅπαν καλῶς ἔχειν, ὁσιώτατε, τοῦτο δὲ μόνον σε ἀνιᾶν καὶ ἀμφιγνώμονα τιθέναι, ὅτι ἡμεῖς μὲν φθορᾶς μέσον καὶ ἀθανασίας ὁμολογοῦμεν τὸν Ἀδὰμ πρὸ τῆς παραβάσεως ὥστε καὶ βρώσεως καταλλήλου μεταλαμβάνειν. Ἐντυχὼν δὲ τῷ τοῦ Γλυκᾶ Μιχαὴλ συντάγματι εὗρες μαρτυρίας ἐκ τῶν ἁγίων Πατέρων συνάγοντα καὶ ἄφθαρτον πάντῃ καὶ ἀθάνατον ἀποδεικνύοντα, ὥστε καὶ ἐν τῇ παλιγγενεσίᾳ πάντας τοὺς ἐξ αὐτοῦ τῆς αὐτῆς ἰδέας τε καὶ ποιότητος ἀξιωθῆναι· ὡσαύτως κἂν τῷ τοῦ Συμεὼν τοῦ παρὰ τῶν αὐτοῦ μυστῶν ἐπονομασθέντος νέου θεολόγου, ἅπαντα τὸν κόσμον ἄφθαρτον δογματίζοντος δημιουργηθῆναι, τὸ δὲ γελοιωδέστατον ὅτι καὶ ἔξω τῆς τῶν
f 171v ἡμερῶν ἑβδομάδος ἐφυτεύθη ὁ παράδεισος.

Ἀλλὰ τίνές ποτέ εἰσιν οὗτοι οἱ νέοι θεολόγοι ἡμεῖς οὐκ οἴδαμεν, τίνι τε τρόπῳ ἢ τίσι μαχόμενοι οὕτως ἰδίως καὶ δικανικῶς περὶ τούτου τὸν λόγον ἐποιήσαντο ὅλως ἀγνοοῦμεν. Ἵνα δὲ μὴ πάντῃ ἀνεξέταστον τοῦτο καταλείψωμεν, φέρε δή τινα καὶ ἡμεῖς ἔκ τε τῶν τῆς θείας Γραφῆς καὶ τοῖς ἁγίοις Πατράσι ῥηθέντων εἰς μέσον ἄγωμεν, ὥστε γνῶναι σαφῶς πότερον δοξαστέον. Φησὶ γοῦν ὁ πάμμεγας Παῦλος ἐν

1) Κῶδ. Ἀμβρ. 290 f. 171r—181r. 30) ἐν τῇ ᾤᾳ: Παύλου.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ. «Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ· οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου». Ἐν δὲ τῇ πρὸς Φιλιππησίους αὖθις. «Ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα». Τὰ αὐτὰ δήπου καὶ ἐν ἑτέραις αὐτοῦ ἐπιστολαῖς φέρεται. Ἀλλ' ἴδωμεν πῶς πρῶτον μὲν ἄνθρωπον τὸν Ἀδάμ, δεύτερον δὲ τὸν Χριστὸν καλεῖ. Οὐ γὰρ εὐθὺς μετὰ τὸν Ἀδὰμ ὁ Χριστὸς ἐγεννήθη, ἀλλ' ἐν τοῖς ἐσχάτοις αἰῶσι. Πῶς οὖν ὁ μὲν πρῶτος, ὁ δὲ δεύτερος αὐτὰ τὰ ῥήματα δηλοῖ; Πρῶτος μὲν λέγεται ὁ Ἀδὰμ ἄνθρωπος, ὡς ἀρχηγὸς τοῦ φθαρτοῦ ἡμῶν γένους χρηματίσας· διὸ καὶ χοϊκὸς ὠνομάσθη, ὡς ἐκ τῆς γῆς γεγονώς, φθαρτῆς πεφυκυίας. Καὶ γὰρ Ἀδὰμ χοϊκὸς ἑρμηνεύεται. || Δεύτερος δὲ καλεῖται ἄνθρωπος ὁ Χριστὸς καὶ f 172r ἐπουράνιος, ὡς καταργήσας διὰ τῆς ἀναστάσεως τὴν φθορὰν καὶ δεύτερος γενόμενος τοῦ γένους ἀρχηγός, οὐ τοῦ φθαρτοῦ, ἀλλὰ τοῦ ἀφθάρτου, τῆς καινῆς ἐν αὐτῷ κτίσεως. «Οἷος, γάρ φησιν, ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί», ὡς ἐξ αὐτοῦ δῆλα δή, «καὶ οἷος ὁ ἐπουράνιος τοιοῦτοι καὶ οἱ ἐπουράνιοι»· ἀπαρχὴ γὰρ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. Οὐχ ἕτεροι δὲ οἱ χοϊκοὶ καὶ ἕτεροι οἱ ἐπουράνιοι, ἀλλ' οἱ αὐτοί, ὄντες μὲν πρότερον χοϊκοί, μετὰ δὲ ταῦτα γεγονότες ἐπουράνιοι, ἤγουν ἄφθαρτοι· θεία γὰρ καὶ οὐράνιος ἡ ἀφθαρσία. Ὅτι δὲ οἱ αὐτοὶ κἀκεῖνοι, δηλοῖ τὸ ἐπαγόμενον, «καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ», ἤτοι τὴν ἰδέαν, «φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου». Ἵνα δὲ μή τις τῷ θαύματι διαπιστοῖ, ὡς ἀπίθανον ἀνθρώπους φθαρτοὺς συμμόρφους γενέσθαι Χριστῷ, φησὶ «κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα». Εἰ πάντα, φησί, δύναται ἐνεργεῖν καὶ πάντα ἑαυτῷ ὑποτάττειν, μὴ δῆτα ἀμφίβαλλε περὶ τοῦ μετασχηματισμοῦ τοῦ σώματος, καὶ ὅτι ὑποταγήσεται ἡ φθορὰ τῇ ἀφθαρσίᾳ.

Ὁρᾷς τοίνυν πῶς σαφέστατα ἡμῖν ὁ Ἀπόστολος ἐδήλωσε τὴν τοῦ

1) Α' Κορ. 15, 47—49. 6) Φιλ. 3, 20—21. 13) Σχόλιον ἐν τῇ φᾳ: Οἶμαι ὅτι καὶ ἑτέρως, χοϊκοὺς μὲν τοὺς τὴν γῆν κατοικοῦντας ὀνομάζει, ἐπουρανίους δὲ τοὺς τὸν οὐρανόν.

Ε.Υ.Δ.ψ.ς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἀδὰμ κατάστασιν καὶ τὴν μέλλουσαν ἡμῶν παρὰ ταύτην ἀποκατάστασιν; Εἰ γὰρ πρὸ τῆς παραβάσεως ὑπῆρχεν ὁ Ἀδὰμ ἄφθαρτος καὶ ἀθάνατος, ἔδει λοιπὸν εἰπεῖν, ὅτι μετασχηματισθήσεται τὸ σῶμα ἡμῶν πρὸς ὃ ὑπῆρχε τὸ τοῦ Ἀδὰμ πρὸ τῆς παραβάσεως. Ἀλλὰ μὴν τοὐναντίον || ἀπέφηνεν. Οἶμαι δὲ τῷ τοιούτῳ ῥητῷ ἐπιστήσας τὸν νοῦν
f 172v καὶ ὁ ἱερώτατος καὶ θεῖος Γρηγόριος ἐν τοῖς πανηγυρικοῖς αὐτοῦ λόγοις ἔφη. «Εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν, ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσαντος καὶ αὖθις συνδήσοντος ὑψηλότερον». Ἀλλὰ τί, φησί, βούλεται τοῖς λέγουσιν ἄφθαρτον γεγονέναι τὸν Ἀδὰμ καὶ διὰ τοῦτο καὶ ἡμᾶς ἐν τῷ μέλλοντι τοιούτους γενέσθαι; Ἦσαν Ὠριγενισταὶ λέγοντες μὴ τόδε τὸ σῶμα ἀναστῆναι ἐν τῇ μελλούσῃ κρίσει, ἀλλ' ἕτερόν τι ἀέριον, σφαιροειδὲς δοθῆναι ταῖς ἡμετέραις ψυχαῖς. Ἴσως δὲ καί τις ἑτέρα συνέβαινεν αἵρεσις, οἰομένη τὸν πεπηρωμένον κατά τι μέλος ἐνταῦθα οὕτω καὶ αὖθις ἀναστῆναι. Καὶ διὰ τοῦτο ἄφθαρτα ἀναστῆναι τὰ ἡμέτερα σώματα ἔφησάν τινες, οἷα τῶν πρωτοπλάστων, ἐν ἑνὶ λογίῳ τὰς δύο ταύτας ψυχρὰς αἱρέσεις ἀνατρέποντες. Καὶ κατὰ τοῦτό μοι δοκεῖ κατὰ τοὺς πρωτοπλάστους ἐγερθῆναι, ἤτοι κατὰ τὸ ἄρτιον τῶν μελῶν καὶ τὸ ὅμοιον, οὐ κατὰ τὴν ποιότητα τοῦ σώματος. Διὸ καὶ ὅταν λέγωσί τινες τῶν Πατέρων περὶ παντελοῦς ἀφθαρσίας τοῦ Ἀδάμ, συλλογιστικῶς λέγουσιν· ὅταν δὲ περὶ φθορᾶς, γραφικῶς τε καὶ πραγματικῶς ἀποδεικνύουσιν. Καὶ ὁ μὲν μέγας Ἀθανάσιος ἐν δευτέρῳ λόγῳ, ἤτοι τῷ περὶ τῆς θείας ἐνανθρωπήσεως, φησίν. «Ἔστι μὲν γὰρ κατὰ φύσιν ἄνθρωπος θνητός, ἅτε δὴ ἐξ οὐκ ὄντων γεγονώς. Διὰ δὲ τὴν πρὸς τὸν ὄντα ὁμοιότητα, ἣν εἰ ἐφύλαττε διὰ τῆς πρὸς αὐτὸν κατανοήσεως, ἤμβλυνεν ἂν τὴν κατὰ φύσιν φθορὰν καὶ ἔμεινεν ἄφθαρτος, καθάπερ ἡ Σοφία φησὶ «προσ-
f 173r οχὴ νόμων, βεβαίωσις ἀφθαρσίας». Ἄφθαρτος δὲ ὤν, ἔζη λοιπὸν || ὡς Θεός, ὥσπερ καὶ ἡ θεία Γραφὴ τοῦτο σημαίνει λέγουσα· «ἐγὼ εἶπα, θεοὶ ἐστέ, καὶ υἱοὶ Ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε». Ὁ γὰρ Θεὸς οὐ μόνον ἐξ οὐκ ὄντων ἡμᾶς πεποίηκεν, ἀλλὰ καὶ τὸ κατὰ Θεὸν ζῆν ἡμῖν ἐχαρίσατο τῇ τοῦ Λόγου χάριτι· οἱ δὲ ἄνθρωποι ἀποστραφέντες τὰ αἰώνια, καὶ συμβουλίᾳ τοῦ διαβόλου εἰς τὰ τῆς φθορᾶς ἐπιστραφέντες, ἑαυτοῖς αἴτιοι τῆς ἐν τῷ θανάτῳ φθορᾶς γεγόνασιν, ὄντες μέν,

[7]) ἐν τῇ ῴᾳ: Γρηγόριος. [24]) ἐν τῇ ῴᾳ: Ἀθανάσιος. παρὰ Migne PG. 25,104. [27]) Σοφ. Σολ. 6,19. [29]) Ψαλμ. 81, 6—7.

[8]) σφεροειδὲς Α [10]) ἴσως: καί τοὺς πρωτοπλάστους. [12]) λέγουσι Α [17]) ἤμβληνε Α.

Ε.Υ.Ζάχος Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὡς προεῖπον, κατὰ φύσιν φθαρτοί, χάριτι δὲ τῆς τοῦ Λόγου μετουσίας τοῦ κατὰ φύσιν ἐκφυγόντες, εἰ μεμενήκεσαν καλοί. Διὰ γὰρ τὸν συνόντα τούτοις Λόγον καὶ ἡ κατὰ φύσιν φθορὰ τούτων οὐκ ἤγγιζε, καθ' ἃ καὶ ἡ Σοφία φησίν. «Ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν· φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον». Ἀποκρινόμενος δὲ περὶ τοῦ παραδείσου, εἰ φθαρτὸν δεῖ αὐτὸν πιστεύειν ἢ ἄφθαρτον, φησίν. «Οὔτε φθαρτὸν αὐτὸν λέγομεν κατὰ τὴν τῶν παρ' ἡμῖν φυτῶν καὶ καρπῶν σῆψιν καὶ σκωλήκων ποιότητα, οὔτε μὴν πάντῃ πάλιν ἄφθαρτον κατὰ τὴν τοῦ μέλλοντος αἰῶνος ἀφθαρσίαν τε καὶ οὐ γινομένην παλαίωσιν, ἀλλὰ πρὸς μὲν τοὺς παρ' ἡμῖν καρπούς τε καὶ παραδείσους πάσης φθορᾶς ἐστιν ὑψηλότερος, πρὸς δὲ τὴν δόξαν τῶν μελλόντων ἀγαθῶν, ὧν ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, πάνυ ἐλάσσων ἐστὶ καὶ πιστεύεται». Περὶ δὲ τοῦ τί ποτε ἦν τὸ ξύλον, οὗτινος τὸν καρπὸν ἔφαγεν ὁ Ἀδάμ, αὖθίς φησιν. «Οὐδὲ ἐν τούτῳ συμφώνως εἰρήκασιν οἱ Πατέρες· καὶ δικαίως· ὅπου γὰρ ἡ θεία || Γραφὴ f 173v
ἑκουσίως ἀπέκρυψεν, οὐδεὶς κατὰ ἀλήθειαν εἰπεῖν ἴσχυσεν. Ὅθεν οἱ μὲν σῦκον εἶναί φασιν, οἱ δὲ πνευματικὴν βρῶσιν, ἄλλοι δὲ τὴν τῆς Εὔας θεωρίαν· δοκεῖ δέ τισι μηδαμῶς βεβρωκέναι τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ. Ἴσως δὲ ὁ πρότερος ἀληθέστερος τυγχάνει, ὁ τοῦ σύκου, διὰ τὸ τοῖς φύλλοις ὡς σκέπην χρήσασθαι τοὺς προπάτορας καὶ διὰ τὸ τὴν συκῆν ὕστερον ὑπὸ Χριστοῦ καταρασθῆναι». Σκόπει τοιγαροῦν πῶς φύσει φθαρτὸν ἀποφαίνεται τὸν Ἀδάμ, ἔχοντά τε δύναμιν ἐκ Θεοῦ εἰ βούλοιτο τῆς ἀφθαρσίας τυχεῖν, ἤτοι διὰ τὸ κατ' εἰκόνα τούτου, ὅ ἐστι τὸ λογικόν, καὶ συντίθεταί πως τοῖς λέγουσι τοῦτον σῦκον βεβρωκέναι, καὶ ὅπως τὸν παράδεισον μέσον φθορᾶς καὶ ἀφθαρσίας πεφυκέναι φησί, καὶ πρὸς μὲν τοὺς παρ' ἡμῖν παραδείσους συγκρινόμενον εἶναι ἄφθαρτον, πρὸς δὲ τὴν τῶν μελλόντων δόξαν, ἤτοι τὴν οὐράνιον, πάνυ ἐλάττονα. Οὐδὲν οὖν ἀπεικὸς καὶ ἄφθαρτον εἰπεῖν τὸν Ἀδὰμ πρὸ τῆς παραβάσεως ὡς πρὸς ἡμᾶς καὶ φθαρτὸν ὡς πρὸς τὴν μέλλουσαν ἀφθαρσίαν κατὰ τὸν τρόπον ὅν τινα καὶ περὶ τοῦ παραδείσου ἔφη ὁ θεῖος Ἀθανάσιος.

[4]) Σοφ. Σολ. 2, 23—24. [11]) σχόλιον ἐν τῇ φα : ἐντεῦθεν παλαίωσιν τοῦ παραδείσου αἰνίττεται, ὡς δῆλον ὅτι ἀνακαινισθήσεται καὶ οὗτος ἐν τῷ μέλλοντι. [15]) σχόλιον ἐν τῇ φα : ὅρα ὅπως τοὺς μὴ πολυπραγμονοῦντας τί ποτε ἦν τὸ ξύλον δικαιοῖ ὁ ἅγιος.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἡ δὲ ἐν Καρθαγένῃ ἁγία σύνοδος κατὰ τῆς αἱρέσεως Πελαγίου
καὶ Κελεστίου οὕτως ἀπεφήνατο. «Ὅτι ὁ Ἀδὰμ θνητὸς ἀπὸ τοῦ
Θεοῦ οὐκ ἐγένετο· ἵνα ὅστις δήποτε λέγει τὸν Ἀδὰμ τὸν πρωτόπλα-
στον ἄνθρωπον θνητὸν γενόμενον οὕτως, ὥς, εἴτε ἁμαρτήσει, εἴτε μὴ
ἁμαρτήσει, τεθνήξεσθαι ἐν τῷ σώματι, τουτέστιν ἐξελθεῖν ἐκ τοῦ σώ-
ματος, μὴ τῇ ἀξίᾳ τῆς ἁμαρτίας, ἀλλὰ τῇ ἀνάγκῃ τῆς φύσεως, ἀνά-
f 174r θεμα ἔστω». || Τοῦτον οὖν τὸν κανόνα ἑρμηνεύων πρὸς τοῖς λοιποῖς ὅ
τε Θεόδωρος Ἀντιοχείας ὁ Βαλσαμῶν καὶ ὁ μοναχὸς Ἰωάννης ὁ Ζω-
ναρᾶς φασίν. «Ὁ Θεὸς οὐ θνητὸν ἔπλασε τὸν Ἀδάμ, οὐδὲ μέντοι
ἀθάνατον, μέσον δὲ μεγέθους καὶ ταπεινότητος, καὶ αὐτεξούσιον ποιή-
σας αὐτόν, εἴασεν, ὥστε ὁποτέρωσε νεύσει, εἴτε πρὸς ἀρετὴν εἴτε
πρὸς κακίαν, κληρώσασθαι αὐτὸν ἢ τὴν ἀθανασίαν ἢ τὴν θνητότητα.
Κἂν γὰρ σάρκα καὶ τότε εἶχεν ὁ ἄνθρωπος, ἀλλ' οὐχ οἵαν νῦν. Καὶ
τοῦτό φησιν ὁ Θεολόγος Γρηγόριος λέγων καὶ τοὺς δερματίνους ἀμ-
φιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ ἀντί-
τυπον. Ὥστε πρὸ τῆς παραβάσεως οὔτε παχεῖα ἦν ἡ σὰρξ τοῦ Ἀδάμ,
οὔτε φύσει θνητή. Ἦσαν δ' οἱ λέγοντες ὅτι θνητὸς ἐξ ἀρχῆς ἐπλάσθη
καὶ θανεῖν ἔμελλε, κἂν μὴ παρέβη τὴν ἐντολήν, καὶ οὐχὶ διὰ τὴν ἁμαρ-
τίαν ἐπεισῆλθεν ὁ θάνατος, ἀλλὰ διὰ τὴν φύσιν τοιαύτην γεγονυῖαν
ἀρχῆθεν. Τῶν οὖν ταῦτα φρονούντων οἱ τῆς συνόδου ταύτης Πατέ-
ρες κατεψηφίσαντο τὸ ἀνάθεμα». Ἀκολούθως τε καὶ ὁ τιμιώτατος ἐν
ἱερομονάχοις ὁ Βλάσταρις Ματθαῖος φάσκων οὑτωσί. «Ἡ Ἐκκλησία
οὔτε θνητὸν αὐτὸν δοξάζει πλασθῆναι παρὰ Θεοῦ, οὔτε ἀθάνατον,
ἀλλὰ μέσον μεγέθους καὶ ταπεινότητος· δεκτικὸν δῆλα δὴ τὸν αὐτὸν
ἀμφοτέρων, ὡς ὁ τῆς Θεολογίας ἐπώνυμος ἔφη· δῶρον δὲ εἰληφὼς τὸ
αὐτεξούσιον καὶ τὰ τῆς κακίας ἀντὶ τῆς ἀρετῆς ἑλόμενος τὸν θάνατον
ἠλλάξατο τῆς ζωῆς». Τοῦτο οὖν τὸ τοῦδε τοῦ Θεολόγου ῥητὸν καὶ ὁ
f 174v Ἡρακλείας Νικήτας ὁ Σερρῶν ἑρμηνεύων φησί. «Μεθόριον || θνητῆς
καὶ ἀθανάτου φύσεως, μέσος μεγέθους καὶ ταπεινότητος, ἤτοι ὡς με-
ταξὺ ὢν ἀθανασίας καὶ θνητότητος, καὶ οὔτε τοῦτο οὔτε ἐκεῖνο· ἀμ-
φιτάλαντον γὰρ αὐτὸν ὁ Θεὸς ἐποίησεν, ἐπιτηρῶν ὅπου ἂν καὶ ῥέψῃ».

Ἀλλ' οὐκ εὔλογον μὴ καί τινα τῶν τοῦ ἁγίου τουτουῒ Γρηγορίου

3) Migne PG. 138,368. 4) σχόλιον ἐν τῇ φᾳ: ἰστέον ὅτι οὐχ ὑπὸ Θεοῦ, ἀλλ' ὑπὸ τῆς ἁμαρτίας γέγονε θνητὸς ὁ Ἀδὰμ καὶ ὅτι εἰ καὶ θνητὸς πρὸ τῆς ἁμαρτίας, ἀλλ' οὐχ ὡς ὑπελάμβανον οἱ αἱρετικοὶ ἄνευ τῆς ἁμαρτίας κυριεύειν αὐτοῖς τὸν θάνατον, διὰ τὸ μέσον εἶναι τοῦτον θνητοῦ καὶ ἀθανάτου. 8) ἐν τῇ φᾳ: Θεοδώρου Ἀντιοχείας καὶ Ἰωάννου τοῦ Ζωναρᾶ. 9) Migne ἔνθ' ἀν. 368. 12) ἐν τῇ φᾳ: τοῦ κυροῦ Ματθαίου.

εἰς μέσον ἀγαγεῖν, ὥστ' ἐξ αὐτῶν μᾶλλον μαθεῖν τὴν ἀλήθειαν. Φησὶν οὖν. «Τοῦτον μὲν ἔθετο ἐν τῷ παραδείσῳ, ὅς τίς ποτε ἦν ὁ παράδεισος οὗτος τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα». Καὶ πάλιν. «Εἰ δὲ καὶ τελευταῖος ὁ ἄνθρωπος ἀνεδείχθη, καὶ ταῦτα χειρὶ Θεοῦ καὶ εἰκόνι τετιμημένος, θαυμαστὸν οὐδέν. Ἔδει γὰρ ὥσπερ βασιλεῖ προϋποστῆναι τὰ βασίλεια καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλέα πᾶσιν ἤδη δορυφορούμενον. Εἰ μὲν οὖν ἐμείναμεν ὅπερ ἦμεν καὶ τὴν ἐντολὴν ἐφυλάξαμεν, ἐγενόμεθα ἂν ὅπερ οὐκ ἦμεν, τῷ ξύλῳ τῆς ζωῆς προσελθόντες μετὰ τὸ ξύλον τῆς γνώσεως· καὶ τί γεγονότες; ἀπαθανατισθέντες καὶ Θεῷ πλησιάσαντες»· ἤγουν εἰς τὸν τῶν ἀγγέλων ταχθέντες χῶρον. Περὶ οὗ μοι δοκεῖ καὶ πρὸ τούτων εἰπεῖν, «ζῷον ἐνταῦθα οἰκονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον καὶ πέρας τοῦ μυστηρίου τῇ πρὸς Θεὸν νεύσει θεούμενον». Ἀλλὰ καί ἐνταῦθα ὡς ἀνύποπτος ἡ τοῦ Ἡρακλείας ἑρμηνεία προτιθέσθω, ἵνα μὴ ἡμεῖς ὡς φεύγοντες ἢ καὶ κατηγοροῦντες, καινοτομοῦντές τε δόξαιμεν. «Ἔλαβε δὲ παρὰ Θεοῦ καθάπέρ τινα τιμὴν τὴν αὐτεξουσιότητα, ἵνα κοινὸν ᾖ τὸ κατορθούμενον ἀγαθόν». Καὶ πάλιν. «Ἀλλ' ὁ μὲν αἰσθητὸς ἄνθρωπος ἢ μᾶλλον εἰπεῖν παράδεισος δῆλος ἂν εἴη ἀπὸ τῆς ἱστορίας· ἐφύτευσε γάρ, φησίν, ὁ Θεὸς ‖ παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς· ὅ γε μὴν Θεολόγος μεταφέρει τὴν ἱστορίαν εἰς ἀναγωγήν, καὶ νοητὸν μὲν νοεῖ παράδεισον τὴν οὐ- f 175r
ράνιον ζωήν, ἤγουν τὴν τῆς ψυχῆς καθαρότητα καὶ λαμπρότητα, φυτὰ δὲ ἀθάνατα τοὺς λόγους καὶ τὰς θείας ἐννοίας, ὧν αἱ μὲν ἀτελέστεραι αἱ δὲ τελειότεραι». Καὶ πάλιν. «Ὁ ἄνθρωπος οὔτε θνητὸς ἐνεργείᾳ, οὔτε ἀθάνατος ἐδημιουργήθη, ἀλλὰ μέσος Θεοῦ καὶ ὕλης γενόμενος διὰ μὲν τὸ φυλάξαι τὴν ἐντολὴν ἔμελλεν ἑνοῦσθαι Θεῷ καὶ ἀπαθανατίζεσθαι, διὰ δὲ τοῦ παραβῆναι, τῇ φθορᾷ προσοικειοῦσθαι καὶ παθητὸς ἀντὶ ἀπαθοῦς καὶ θνητὸς ἀντὶ ἀθανάτου γίνεσθαι. Τοῦτο γὰρ ἐνταῦθα ὁ Θεολόγος αἰνίττεται λέγων, ὅτι εἰ ἐμείναμεν ὅπερ ἦμεν, ἐγενόμεθα ἂν ὅπερ οὐκ ἦμεν», ἤγουν ἀθάνατοι. Καὶ αὖθις. «Τὸ γὰρ σῶμα τοῦ Ἀδὰμ ἀπ' ἀρχῆς λεπτότερον ἦν καὶ ἁπαλώτερον καὶ οὐδὲ θνητόν, ἀλλὰ μέσον θνητοῦ καὶ ἀθανάτου». Καὶ μετ' ὀλίγα· «οὐ γὰρ ἦν λυσιτελὲς ἀπείραστον ἔτι καὶ ἀδόκιμον ὄντα τὸν ἄνθρωπον τῆς ἀφθαρσίας τυχεῖν, ἵνα μὴ εἰς τύφον ἐμπέσῃ καὶ κρίμα τοῦ διαβόλου· ἐκεῖνος γὰρ διὰ τὸ ἄφθαρτον μετὰ τὴν ἐκ προαιρέσεως ἔκπτωσιν τὴν ἐν τῷ κακῷ ἄτρεπτον ἔσχε καὶ ἀμετάβλητον παγιότητα». Ταῦτα

[5]) ἐν τῇ ὤᾳ : Γρηγορίου τοῦ Θεολόγου. [16]) ἐν τῇ ὤᾳ : Νικήτα Ἡρακλείας.
[35]) σχόλιον ἐν τῇ ὤᾳ : ὅρα τὸ αἴτιον τῆς ἡμετέρας ἀνακλήσεως.



ΙΩΑΝΝΙΝΑ 2006